www.tezaurliturgic.ro

+

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ & ΕΝΔΟΞΟΝ ΝΕΟΜΑΡΤΥΡΑ, ΓΕΩΡΓΙΟΝ ΤΟΝ ΧΙΟΠΟΛΙΤΗΝ

*(οὗ ἡ μνήμη τῇ 26η Νοεμβρίου)*

Ἐποιήθη
ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος

* ͵βζ' * 2007 *

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ



# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ & ΕΝΔΟΞΟΝ ΝΕΟΜΑΡΤΥΡΑ ΓΕΩΡΓΙΟΝ ΤΟΝ ΧΙΟΠΟΛΙΤΗΝ

* * *

*Μετὰ τό, Εὐλογητός, ὁ ψαλμὸς 142(ΡΜΒ΄)*

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου·καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος·καὶ ἠκηδίασεν ἐπ᾽ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.

Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπεν τὸ πνεῦμά μου.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωὶ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον.

Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.

Ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.

Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου· καὶ ἐν τῷ ἐλέει σου ἐξολεθρεύσεις τοὺς ἐχθρούς μου καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σού εἰμι.

*Θεὸς Κύριος καὶ τὰ Τροπάρια*

*Ἦχος δ΄ Ὁ Ὑψωθείς.*

Ἀπατηθεὶς ἐκ νηπιότητος, μάρτυς,
τὴν ἀπατήσασαν ἐπάτησας πλάνην,
καὶ μαρτυρίου εἴληφας τὸ στέφος λαμπρόν,
ὅθεν τοὺς τιμῶντάς σε,
ἐκ παγίδων τοῦ πλάνου,
πάντοτε διάσωζε,
καὶ αἰτήσεις ἐκπλήρου,
τῷ ἀγαθῷ πρεσβεύων Ἰησοῦ,
τῆς Χίου δόξα,
Γεώργιε ἔνδοξε.

*Δόξα. Καὶ νῦν Θεοτοκίον, ὅμοιον.*

Οὐ σιωπήσομεν ποτέ, Θεοτόκε,
τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι,
εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα,
τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνωνϗ
τίς δὲ διεφύλαξεν,
ἕως νῦν ἐλευθέρουςϗ
οὐκ ἀποστῶμεν, Δέσποινα ἐκ σοῦ,
σοὺς γὰρ δούλους σῴζεις ἀεί,
ἐκ παντοίων δεινῶν.

*Εἶτα ὁ Ν΄ ψαλμός·*

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι, πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς με ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ᾿ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ Πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν, ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

**Μετὰ ταῦτα ψάλλεται ὁ κανών, οὗ ἡ ἀκροστιχίς:**

*«Γεώργιε νεομάρτυς, πρέσβευε ὑπὲρ ἡμῶν. Ἀ(θανάσιος)».*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Ὠιδὴ α΄. Ἦχος πλ.δ΄. Ὑγρὰν διοδεύσας.*

Γεώργιε ἔνδοξε ἀθλητά,
τῶν νέων μαρτύρων,
συγκαρπία χριστοφιλής,
τῶν σοὶ προσπιπτόντων τὰς αἰτήσεις,
τῇ χάριτί σου ἐκπλήρου ὡς τάχιστα.

Εἱλκύσθης πρὸς πλάνην, χρισταθλητά,
ἐκ φόβου ἀλόγου,
καὶ συμπτώματος τοῦ ἐχθροῦ,
οὗ ῥῦσαι παγίδων πολυπλόκων,
τοὺς σὲ τιμῶντας, Γεώργιε ἔνδοξε.

Ὡς ξίφος διῆλθε τὴν σὴν ψυχήν,
ἡ αἴσθησις, Μάρτυς,
τῆς ἀλόγου συναρπαγῆς,
διὸ μετανοίᾳ κατεφλέχθης,
ἣν τοῖς πιστοῖς δίδου δῶρον ἰσόβιον.

*Θεοτοκίον*

Ῥοῦν ἔστησας πλάνης τῆς κοσμικῆς,
τὸ γένος ἀνθρώπων,
ῥυσαμένη ἐκ τῆς φθορᾶς,
τεκοῦσα, Παρθένε, τὸν Σωτῆρα,
Ὃν τοῖς τιμῶσί σε δεῖξον εὐΐλατον.

*Ὠιδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Γρηγορῶν ἀπεβάλου,
τὸ ἀσεβὲς ἔνδυμα,
καὶ τὴν ἀγαρώνυμον κλῆσιν,
μάρτυς Γεώργιε·
ὅθεν ἀξίωσον,
κἀμὲ ἀεὶ ἀποβάλλειν,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ἁμαρτίας ἔνδυμα,
τὸ σατανόπλεκτον.

Ἴθυνόν μου τὸν βίον,
πρὸς τὸ Χριστοῦ θέλημα,
ὥσπερ ἴθυνάς σου τὸν δρόμον,
πρὸς τὴν μετάνοιαν,
καὶ ἔχειν πάντοτε,
τῆς συνειδήσεως, Μάρτυς,
ζῶντα τὸν σωτήριον
ἔλεγχον ἔνδοθεν.
Ἐκ τῆς γῆς τῆς πατρῴας,
μεταναστάς, Ἅγιε,
εὗρες Κυδωνίας τὴν πόλιν,
πρὸς ἐπανόρθωσιν,
πταίσματος πτώσεως,
διὸ κἀμὲ ἀξιώσαις,
ἔχειν ἀκατάπαυστον,
πόθον σωτήριον.

*Θεοτοκίον*

Νικητὰς διαβόλου,
τοὺς ἀθλητὰς ἔδειξας,
Πάναγνε, θερμαῖς σου πρεσβείαις,
τούτους ῥωννύουσα·
ὅθεν σου δέομαι,
τὴν ὥσπερ φύλλον ψυχήν μου,
κλονουμένην στήριξον,
καὶ ἐνδυνάμωσον.

Διάσωσον,
τοὺς σὲ τιμῶντας, Γεώργιε νεομάρτυς,
ἀπὸ πάσης ἐπιβουλῆς ἐχθροῦ πολεμήτορος,
καὶ ἴασαι,
τῶν ψυχῶν καὶ σωμάτων τὰς νόσους.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἐπίβλεψον,
ἐν εὐμενείᾳ, Πανύμνητε Θεοτόκε,
ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν,
καὶ ἴασαι,
τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Τὴν πλάνην σοφῶς,
πατήσας, γενναιότατε,
αἱμάτων ῥοαῖς,
ἀπέπνιξας διάβολον,
καὶ λαβὼν τὸν στέφανον,
τῆς ἀθλήσεως, ὦ Γεώργιε,
πρεσβεύεις Κυρίῳ θερμῶς,
ὑπὲρ πιστῶν γεραιρόντων σε.

*Ὠιδὴ δ΄. Εἰσακήκοα, Κύριε.*

Ἐλευθέρωσον, Ἅγιε,
ὅσοι ὑπὸ πλήθους παθῶν δεσμεύονται,
καὶ ὑγίειαν δὸς τοῖς πάσχουσιν,
ἐξ ἀσθενειῶν ψυχῆς καὶ σώματος.

Οἱ κυκλούμενοι πάντοθεν,
ὑπὸ περιστάσεων βίου, Ἅγιε,
σὴν βοήθειαν αἰτούμεθα,
ὅπως ὑπερβῶμεν ταύτας τάχιστα.

Μὴ ἐάσῃς, Γεώργιε,
νῆσόν σου γενέθλιον ἀπροστάτευτον,
ἀλλὰ χεῖρας ἀεὶ ὕψωσον,
ὑπὲρ ταύτης πρὸς τὸν Πολυέλεον.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Θεοτοκίον*

Ἀπογνόντες ἐκ θλίψεων,
πρὸς σὲ καταφεύγομεν, Παναμώμητε,
ἐξαιτούμενοι τὴν χάριν σου,
ἥν περ δίδου πᾶσιν ὡς φιλότεκνος

*Ὠιδὴ ε΄. Φώτισον ἡμᾶς.*

Ῥῦσαι Πιτυός,
τὸ γεννῆσάν σε, Γεώργιε,
ἐκ τῶν σκανδάλων πολεμήτορος ἐχθροῦ,
ἐνισχύων,
οὐρανόθεν συγχωρίους σου.

Τῶν ἁμαρτιῶν,
τὸ χειρόγραφον διάῤῥηξον,
τῶν προσφευγόντων σοι, Γεώργιε,
καὶ ἀξίους,
Παραδείσου δεῖξον ἅπαντας.

Ὑπὲρ τοῦ Χριστοῦ,
χύσας αἷμά σου, Γεώργιε,
ἔχεις πολλὴν τὴν παῤῥησίαν πρὸς Αὐτόν,
ὅθεν αἴτει,
σωτηρίαν τῶν τιμώντων σε.

*Θεοτοκίον*

Σῶμα προσλαβών,
ἐκ σαρκὸς τῆς παναγίας σου,
ὁ κόσμου Κτίστης, Παναμώμητε Ἁγνή,
τῶν πιστευόντων,
σὲ ἀνέδειξε μεσίτριαν.

*Ὠιδὴ Ϛ΄. Τὴν δέησιν ἐκχεῶ.*

Προστάτην σε,
οἱ πιστοὶ κατέχοντες,
ὦ Γεώργιε κλεινὲ νεομάρτυς,
ἱκετικῶς,
προσκυνοῦμεν μορφήν σου,
καὶ ἐκζητοῦμεν τὴν θείαν πρεσβείαν σου,
ἵνα τὸν βίον ἐφεξῆς,
μετανοίᾳ καλῶς περαιώσωμεν.

Ῥωννύμεθα,
σὸν σεπτὸν μαρτύριον,
μελετῶντες, ὦ Γεώργιε θεῖε,
καὶ ἐκ ψυχῆς,
ἱκετεύομεν δίδου,
ἡμῖν πολλὴν τὴν ἐξ ὕψους βοήθειαν,
ὅπως ἐν ὥρᾳ πειρασμῶν,
τὰ πυρὰ τοῦ ἐχθροῦ ὑπομείνωμεν.

Ἐνέκρωσας,
ἡδονὰς τοῦ σώματος,
καὶ ἐσταύρωσας σαὐτὸν τῷ Δεσπότῃ,
ὅθεν οὐδέν,
ἠδυνήθη χωρίσαι.
Αὐτοῦ ἀγάπης, Γεώργιε ἔνδοξε,
διὸ παράσχου καὶ ἡμῖν,
ταύτην δῶρον ἐν βίῳ ἀμείωτον.

*Θεοτοκίον*

Σύ, Ἄχραντε,
τῶν πιστῶν δεδώρησαι,
καταφύγιον ἐν πάσῃ ἀνάγκῃ,
καὶ μητρικῶς,
ὑπανοίγεις τὰ ὦτα,

προσδεχομένη αἰτήσεις τῶν δούλων σου,
διὸ προσδέχου καὶ ἡμῶν,
ἐκ βαθέων δεήσεις, Πανύμνητε.

Διάσωσον,
τοὺς σὲ τιμῶντας, Γεώργιε νεομάρτυς,
ἀπὸ πάσης ἐπιβουλῆς ἐχθροῦ πολεμήτορος,
καὶ ἴασαι,
τῶν ψυχῶν καὶ σωμάτων τὰς νόσους.

Ἄχραντε,
ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως,
ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον,
ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β'. Προστασία τῶν Χριστιανῶν.*

Πιτυὸς ἡ πατρίς σου εὐφραίνεται,
καὶ ἡ νῆσος τῆς Χίου ἀγάλλεται,
σὲ κεκτημέναι πρέσβυν πρὸς Χριστόν,
διὸ πάντοτε αὐτῶν,
τὰς ἱκεσίας εὐμενῶς,
τῷ Δεσπότῃ προσάγαγε,
ἵνα διδῷ τὴν χάριν,
πᾶσι τοῖς αἰτουμένοις,
καὶ σὲ τιμῶσιν εὐλαβῶς,
Νεομάρτυς Γεώργιε.

*Προκείμενον.* Δίκαιος ὡς φοίνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

*Στίχος. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις Αὐτοῦ*

## ΕΥΑΓΓΕΛΙΟΝ

*Ἐκ τοῦ κατὰ Λουκᾶν (21,12-19)*

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· προσέχετε ἀπὸ τῶν ἀνθρώπων· ἐπιβαλοῦσιν ἐφ᾿ ὑμᾶς τὰς χεῖρας αὐτῶν καὶ διώξουσιν, παραδιδόντες εἰς συναγωγὰς καὶ φυλακάς, ἀγομένους ἐπὶ βασιλεῖς καὶ ἡγεμόνας ἕνεκεν τοῦ ὀνόματός μου.·Ἀποβήσεται δὲ ὑμῖν εἰς μαρτύριον. Θέσθε οὖν ἐν ταῖς καρδίαις ὑμῶν μὴ προμελετᾶν ἀπολογηθῆναι· ἐγὼ γὰρ δώσω ὑμῖν στόμα καὶ σοφίαν, ᾗ οὐ δυνήσονται ἀντιστῆναι ἢ ἀντειπεῖν πάντες οἱ ἀντικείμενοι ὑμῖν. Παραδοθήσεσθε δὲ καὶ ὑπὸ γονέων καὶ ἀδελφῶν καὶ συγγενῶν καὶ φίλων, καὶ θανατώσουσιν ἐξ ὑμῶν, καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου. Καὶ θρὶξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ ἀπόληται. Ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν.

*Δόξα Πατρί.*

Ταῖς τοῦ Ἀθλοφόρου.

*Καὶ νῦν.*

Ταῖς τῆς Θεοτόκου.

*Εἶτα ψάλλομεν τὸ προσόμοιον.*

*Ἦχος πλ.β΄. Ὅλην ἀποθέμενοι.*

*Στίχ. Ἐλέησόν με ὁ Θεός...*

Νεομάρτυς ἔνδοξε,
τοῦ Πιτυοῦς σεπτὸν θρέμμα,
καὶ τῆς Χίου καύχημα,
ἀθλητὰ Γεώργιε, δέξαι δέησιν,
ἣν θερμῶς προσφέρομεν,
καὶ θερμῶς βοῶμεν·
σῶσον βίου περιστάσεων

www.tezaurliturgic.ro


καὶ νόσους ἴασαι,
τὰς κατατρυχούσας τοὺς δούλους σου,
μετάνοιάν τε χάρισαι,
τοῖς πολλοῖς κειμένοις ἐν πταίσμασιν,
ἐν δὲ τῇ ἐσχάτῃ,
ἡμέρᾳ θείας δίκης ἐξελοῦ,
τοὺς σὲ τιμῶντας κολάσεως,
καὶ Κυρίῳ σύναψον.

*Σῶσον ὁ Θεὸς τὸν λαόν σου…κλπ.*

*Ὠιδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Βεβαρυμένοι σφόδρα,
ὑπὸ τῶν ποικίλων,
τοῦ βίου θλίψεων,
θερμῶς ἀναβοῶμεν,
ταύτας ἔπαρον τάχει,
νεομάρτυς Γεώργιε,
καὶ τὴν χαρὰν τοῦ Χριστοῦ,
ἐμφύτευσον καρδίαις.

Ἐν ὥρᾳ τῆς ἀνάγκης,
καὶ ἐν ἀσθενείαις,
ἐλθέ, Γεώργιε,
ἡμῖν συμπαραστάτης,
μήποτε ἐκλυθῶμεν,
καὶ Κυρίῳ γογγύσωμεν,
ἀλλ’ εὐχαρίστοις φωναῖς,
δίδου Αὐτὸν δοξάζειν.

Ὑπόταξον τὰ πάθη,
Πνεύματος τῷ νόμῳ,
μάκαρ Γεώργιε,
καὶ τὴν ἐλευθερίαν,
τοῦ Χριστοῦ παράσχου,

τοῖς αἰτοῦσιν ἐκ πίστεως,
ὅπως τῆς δόξης Αὐτοῦ,
συμμέτοχοι ὀφθῶμεν.

*Θεοτοκίον*

Ἐν ὥρᾳ τῇ ἐσχάτῃ,
πρέσβις χριστωνύμων,
φάνηθι, Δέσποινα,
καὶ τὴν ὀργήν Κυρίου,
πρόφθασον καὶ παῦσαι,
κρεμαμένην τοῖς δούλοις σου,
καὶ σωτηρίας ἡμᾶς,
ἀξίωσον εὐχαῖς σου.

*Ὠιδὴ η΄. Τὸν βασιλέα.*

Ὑπὲρ τῆς Χίου,
καθικέτευε Μάρτυς,
καὶ τῆς χώρας τῆς σὲ ἐκβλαστησάσης,
ἵνα τοῦ Κυρίου,
ἡ χάρις ταύτας σκέπῃ.

Πύρωσον, Μάρτυς,
τῶν ὑμνητῶν σου καρδίας,
τῇ ἀγάπῃ ᾗ σὺ κατεπυρώθης,
καὶ σατὰν καθεῖλες,
ὑποσκελίσαντά σε.

Ἐν τῷ νυμφῶνι,
τῆς Βασιλείας Κυρίου,
ὦ Γεώργιε, δίδου ἡμῖν θέσιν,
ὁ φθαρτοῦ νυμφῶνος,
τὰς ἡδονὰς πατήσας.

*Θεοτοκίον*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ῥερυπωμένους,
ἁμαρτήμασι βίου,
ἀποκάθαρον, Δέσποινα, εὐχαῖς σου,
καὶ κεκαθαρμένους,
ἡμᾶς δεῖξον Κυρίῳ.

*Ὠιδὴ θ'. Κυρίως Θεοτόκον.*

Ἡτοίμασταί σοι τόπος,
ἐν τῇ Βασιλείᾳ,
τοῦ Ἰησοῦ, νεομάρτυς Γεώργιε,
ἧς καὶ ἡμᾶς ἀξιώσαις,
ταῖς ἱκεσίαις σου.

Μεγάλην παῤῥησίαν,
ἔχων πρὸς Σωτῆρα,
ὑπὲρ Οὗ αἷμά σου δέδωκας, Ἅγιε,
ὑπὲρ τῶν σὲ γεραιρόντων,
πάντοτε πρέσβευε.

Ὡς αἵματι ἀθλήσας,
καὶ στεφθεὶς ἐνδόξως,
τὴν χάριν δίδου, Γεώργιε ἅγιε,
τοῖς συνειδήσει ἀθλοῦσι,
διὰ τὸν Κύριον.

Νοσοῦντας ἐκ καρκίνων,
καὶ ἐξηρτημένους,
ἐξ οὐσιῶν ψυχοφθόρων θεράπευσον,
καὶ τὴν χαρὰν θλιβομένοις,
δίδου, Γεώργιε.

*Θεοτοκίον*

Αἰτήματα ἐκπλήρου,
Δέσποινα Παρθένε,



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

τῶν εὐλαβῶν τὸν Χριστὸν ἱκετεύουσα,
σὺν Γεωργίῳ τῆς Χίου,
τὸ θεῖον βλάστημα.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς,
μακαρίζειν σε τὴν Θεοτόκον,
τὴν ἀειμακάριστον καὶ παναμώμητον,
καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν.
Τὴν τιμιωτέραν τῶν Χερουβείμ,
καὶ ἐνδοξοτέραν,
ἀσυγκρίτως τῶν Σεραφείμ·
τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν,
τὴν ὄντως Θεοτόκον,
σὲ μεγαλύνομεν.

*καὶ τὰ Μεγαλυνάρια*

Χαίροις νεομάρτυς τοῦ Ἰησοῦ,
Γεώργιε μάκαρ,
θεῖον βλάστημα Πιτυοῦς,
καὶ τῆς νήσου Χίου,
ὁ ἔνθερμος προστάτης,
πάντων δὲ Ὀρθοδόξων,
χαρὰ καὶ καύχημα.

Τὸν πτερνίσαντά σε ἀπατηλῶς,
διὰ μετανοίας,
ἐξενεύρισας ἀληθῶς,
καὶ ἐν Κυδωνίαις,
τὸ αἷμά σου ἐκχύσας,
Γεώργιε τρισμάκαρ,
τοῦτον ἀπέπνιξας.

Τοὺς δοξάζοντάς σε ἀπὸ ψυχῆς,
καὶ ἐξαιτουμένους,
τὰς πρεσβείας σου πρὸς Θεόν,

φύλαττε ἀτρώτους,
ἐκ πάσης ἀσθενείας,
ψυχῶν τε καὶ σωμάτων,
θεῖε Γεώργιε.

Σκέπε σὴν γενέτειραν ἀσινῆ,
καὶ τοὺς συγχωρίους,
ἐνδυνάμωσον σαῖς εὐχαῖς,
ὅπως τοῦ βελίαρ,
τὰ σκάνδαλα νικῶντες,
φανῶσι Βασιλείας,
τέκνα, Γεώργιε.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί,
Πρόδρομε Κυρίου,
Ἀποστόλων ἡ δωδεκάς,
οἱ Ἅγιοι Πάντες, μετὰ τῆς Θεοτόκου,
ποιήσατε πρεσβείαν,
εἰς τὸ σωθῆναι ἡμᾶς.

*Τρισάγιον κλπ.*

*Εἰς τὴν ἀπόλυσιν ψάλλομεν τὸ παρὸν προσόμοιον.*

*Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου σε.*

Δέχου, νεομάρτυς τοῦ Χριστοῦ,
τὰς αἰτήσεις τῶν προσπιπτόντων,
τῇ σῇ εἰκόνι θερμῶς,
καὶ νόσων ἀπάλλαξον,
τῶν τυραννούντων ἡμᾶς,
διαβόλου τὰ σκάνδαλα,
διάλυε τάχει,
καὶ τῆς πλάνης φύλαττε,
τῆς χωριζούσης Θεοῦ.
Πάντας δὲ τῆς ἄνω Πατρίδος,

δεῖξον συμπολίτας εὐχαῖς σου,
Χίου ἐγκαλλώπισμα, Γεώργιε.

Δέσποινα, πρόσδεξαι,
τὰς δεήσεις τῶν δούλων σου,
καὶ λύτρωσαι ἡμᾶς,
ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου,
εἰς σὲ ἀνατίθημι,
Μῆτερ τοῦ Θεοῦ,
φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

*Δι᾽ εὐχῶν.*

*Στίχοι*

*Βεβαίαν γεώργησον τὴν σωτηρίαν,*
*τοῖς σέ, Γεώργιε, πιστῶς ἀνυμνοῦσι.*



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ